προσήνεγκε, καὶ φησί, δέσποτα, δός μοι τὴν ἐπαγγελίαν. ὁ δὲ ξάνθος, οὐ δώσω ἔφη, ἐὰν μή μοι φράσῃς ποίᾳ ἐπινοίᾳ τὸν θησαυρὸν εὗρες. τὸ γὰρ μαθεῖν πολὺ τὸ εὑρήματος τιμιώτερον. αἴσωπος ἔφη, δέσποτα, ὁ τὸν θησαυρὸν καταθέμενος, ὡς φιλόσοφος, τὰ ζ΄ ἐχαράξετο στοιχεῖα, ἃ λέγει, ᾱ, ἀποβὰς. β̄, βήματα. δ̄, τέσσαρα. ō, ὀρύξας. ε̄, εὑρήσεις. θ̄, θησαυρόν. χ̄, χρυσίου. ξάνθος λέγει, ἐπείπερ τοιοῦτος εἶ πανοῦργος καὶ συνετὸς, οὐ τεύξῃ τῆς ἐλευθερίας. ὁ δὲ λέγει πρὸς αὐτόν, δέσποτα, ἀναγγελῶ τὸ χρυσίον ἀποδοθῆναι βασιλεῖ τῶν βυζαντίων, διονυσίῳ. καὶ ὁ ξάνθος, πόθεν αὐτὸ γινώσκεις. αἴσωπος ἔφη, ἐκ τῶν γραμμάτων ἐπέγνων. ὡς λέγει ᾱ, ἀπόδος. β̄, βασιλεῖ. δ̄, διονυσίῳ. ō, ὃν. ε̄, εὗρες. θ̄, θησαυρόν. χ̄, χρυσίου. ὁ δὲ ξάνθος ἀ-